αὐτοῦ τὴν ἀδελφὴν κανηφορεῖν Παναθηναίοις ἐκώλυσεν
λοιδορήσας τι τὸν Ἁρμόδιον ὡς μαλακὸν ὄντα, ὅθεν συνέβη
παροξυνθέντα τὸν Ἁρμόδιον καὶ τὸν Ἀριστογείτονα πράττειν
τὴν πρᾶξιν μετεχόντων πολλῶν· ἤδη δὲ παρατηροῦντες 3
ἐν ἀκροπόλει τοῖς Παναθηναίοις Ἱππίαν (ἐτύγχανεν γὰρ
οὗτος μὲν δεχόμενος, ὁ δ' Ἵππαρχος ἀποστέλλων τὴν
πομπήν), ἰδόντες τινὰ τῶν κοινωνούντων τῆς πράξεως
φιλανθρώπως ἐντυγχάνοντα τῷ Ἱππίᾳ καὶ νομίσαντες
μηνύειν, βουλόμενοί τι δρᾶσαι πρὸ τῆς συλλήψεως, κατα-
βάντες καὶ προεξαναστάντες τῶν [ἄλλω]ν τὸν μὲν Ἵππαρχον
διακοσμοῦντα τὴν πομπὴν παρὰ τὸ Λεωκόρειον ἀπέκτειναν,
τὴν δ' ὅλην ἐλυμήναντο πρᾶξιν. αὐτῶν δ' ὁ μὲν Ἁρμόδιος 4
εὐθέως ἐτελεύτησεν ὑπὸ τῶν δορυφόρων, ὁ δ' Ἀριστογείτων
ὕστερον συλληφθεὶς καὶ πολὺν χρόνον αἰκισθείς. κατηγό-
ρησεν δ' ἐν ταῖς ἀνάγκαις πολλῶν οἳ καὶ τῇ φύσει τῶν
ἐπιφανῶν καὶ φίλοι τοῖς τυράννοις ἦσαν. οὐ γὰρ ἐδύναντο
παραχρῆμα λαβεῖν οὐδὲν ἴχνος τῆς πράξεως, ἀλλ' ὁ λεγό-
μενος λόγος ὡς ὁ Ἱππίας ἀποστήσας ἀπὸ τῶν ὅπλων τοὺς
πομπεύοντας ἐφώρασε τοὺς τὰ ἐγχειρίδια ἔχοντας οὐκ
ἀληθής ἐστιν· οὐ γὰρ ἔπεμπον τό⟨τε⟩ μεθ' ὅπλων, ἀλλ'
ὕστερον τοῦτο κατεσκεύασεν ὁ δῆμος. κατηγόρει δὲ τῶν 5
τοῦ τυράννου φίλων, ὡς μὲν οἱ δημοτικοί φασιν, ἐπίτηδες,
ἵνα ἀσεβήσαιεν ἅμα καὶ γένοιντο ἀσθενεῖς ἀνελόντες τοὺς
ἀναιτίους καὶ φίλους ἑαυτῶν, ὡς δ' ἔνιοι λέγουσιν, οὐχὶ
πλαττόμενος ἀλλὰ τοὺς συνειδότας ἐμήνυεν. καὶ τέλος 6
ὡς οὐκ ἐδύνατο πάντα ποιῶν ἀποθανεῖν, ἐπαγγειλάμενος ὡς
ἄλλους μηνύσων πολλοὺς καὶ πείσας αὑτῷ τὸν Ἱππίαν
δοῦναι τὴν δεξιὰν πίστεως χάριν, ὡς ἔλαβεν, ὀνειδίσας ὅτι
τῷ φονεῖ τἀδελφοῦ τὴν δεξιὰν δέδωκε οὕτω παρώξυνε τὸν
Ἱππίαν ὥσθ' ὑπὸ τῆς ὀργῆς οὐ κατέσχεν ἑαυτὸν ἀλλὰ
σπασάμενος τὴν μάχαιραν διέφθειρεν αὐτόν.

Μετὰ δὲ ταῦτα συνέβαινεν πολλῷ τραχυτέραν εἶναι τὴν 19

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417053533/25 UNIVERSITÄT LEIPZIG